# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ

† Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας († 270).
Γενναδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (†471).

Ἦχος πλ. β΄ Γα




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.(Τό ὡς ἄνω)

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Ἀπολυτίκιον τῆς ιζ΄ Νοεμβρίου

Ἦχος πλ. δ΄ Γα

Ἐν προ σευ χαι αις γρη γο ρων ταις των
θαυ μα των ερ γα σι αις εγ καρ τε ρων ε πω
νυ μι ανεκ τη σω τα κα α το ορ θω μα α τα
αλ λα πρε σβευ ε Χρι στω τω Θε ω Πα α
τερ Γρη γο ρι ε φω τι σαι τας ψυ χας η μων
μη πο τε υ πνω σω μεν εν α μαρ τι αις ει
εις θα να τον

Δόξα... (Τό ὡς ἄνω)

Καὶ νῦν...

Τῇ Παρασκευῇ πρωΐ.
εἰς τὸ Θεὸς Κύριος
Ἦχος πλ. δ΄.



Τῇ Παρασκευῇ πρωΐ.

Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα Σταυρώσιμα

Ἦχος πλ. β΄

Ἦχος λ/π Βου

**Μ**όνον ἐπάγη, τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν, τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ. Ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς.






Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Κύριε, κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων, οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν, ἀλλ΄ ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς, τῆς δουλείας τοῦ ἐχθροῦ, Κύριε δόξα σοι.



προ ση νε γκαν αλλ ε κων υ πε μει νας ι να

η μας ε λε ευ θε ρω σης της δου λει ας του

εχθ ρου Κυ ρι ε δο ο ξα σοι οι

**Δ**όξα... **Κ**αὶ νῦν... *Σταυροθεοτοκίον*

*Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ*

**Ἡ** μόνη ἄμωμος Ἀμνάς, Θεοτόκε Παρθένε, τὸν ἐξ αἱμάτων σου ἁγνῶν, σαρκωθέντα ὁρῶσα, κρεμάμενον ἐθελουσίως ἐν Σταυρῷ, ἐκραύγαζες Κόρη, ἐν δάκρυσι πικροῖς· Υἱέ μου ἀνεξίκακε, ὑμνῶ σου τὴν φρικτήν, πᾶσαν οἰκονομίαν.

*Μετὰ τὴν β΄ Στιχολογίαν*

*Καθίσματα Σταυρώσιμα*

**Σ**ήμερον τὸ προφητικόν, πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν, πρεσβείαις της Θεοτόκου, μόνε φιλάνθρωπε.

**Σ**η με ρον το Προ φη τι κον πε πλη ρω

ται λο γι ον ι δου γαρ προ σκυ νου μεν εις

τον το πον ου ε στη σαν οι πο ο δες σου Κυ ρι

ε και ξυ λου σω τη ρι ας γευ σα με νοι

των εξ α μαρ τι ας κα κων ε λευ θε ρι ας ε

τυ χο μεν πρε σβει αις της Θε ο το κου μο ο

νε φι λαν θρω πε ε

Στιχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Ὁ Σταυρός σου Κύριε ἡγίασται· ἐν αὐτῷ γὰρ γίνονται ἰάματα, τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις, δι᾽ αὐτοῦ σοι προσπίπτομεν· Ἐλέησον ἡμᾶς.

Ο Σταυ ρος σου Κυ ρι ε η γι α σται

εν αυ τω γαρ γι νον ται ι α μα τα τοις




Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον

Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ

Παρισταμένη τῷ Σταυρῷ, ἡ Παρθένος καὶ Μήτηρ, τοῦ ἄνευ πάθους ἐξ αὐτῆς, ὑπὲρ νοῦν σαρκωθέντος, ἐκραύγαζε δακρυρροοῦσα μητρικῶς· οὐ φέρω σε νεκρὸν κρεμάμενον ὁρᾶν, πνοὴν τὸν παρεχόμενον, τοῖς ζῶσιν ἐπὶ γῆς, ὢ Υἱὲ καὶ Θεέ μου.

Μετὰ τὴν γ΄ Στιχολογίαν

Καθίσματα ἕτερα

Ἐλπὶς τοῦ κόσμου ἀγαθὴ

Σταυρὲ δαιμόνων ὀλετήρ, ἰατρὲ τῶν νοσούντων, ἰσχὺς καὶ φύλαξ τῶν πιστῶν, Βασιλέων τὸ νῖκος, τὸ καύχημα τῶν Ὀρθοδόξων ἀληθῶς, τὸ στήριγμα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, γενοῦ ἡμῖν ἀσφάλεια, καὶ τεῖχος καὶ φρουρός, ξύλον εὐλογημένον.

Μαρτυρικὸν

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Φῶς δικαίοις διὰ παντός· οἱ γὰρ Ἅγιοι ἐν σοὶ φωτισθέντες, καταλάμπουσιν ἀεὶ ὡς φωστῆρες, λύχνον ἀσεβῶν σβέσαντες, ὧν ταῖς εὐχαῖς, σὺ φωτιεῖς λύχνον μου Κύριε, καὶ σῶσόν με.




## Δόξα... Καὶ νῦν... Θεοτοκίον

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με, ἀλλ᾽ αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με.


Πα να γι α Θε ε ο το κε τον χρο
νον της ζω η η ης μου μη εγ κα τα λι πης
με αν θρω πι νη προ στα σι α μη κα τα
πι στευ σης με αλλ αυ τη αν τι λα βου
και ε λε ε η σον με

Ἀναγινώσκεται Ὁ Ν΄ Ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

## ΚΑΝΟΝΕΣ ΤΗΣ ΠΑΡΑΚΛΗΤΙΚΗΣ ΗΧΟΣ ΠΛ. Β΄

Κανὼν Σταυρώσιμος,

Ὠδὴ α΄ Ἦχος πλ. β΄

Ὁ Εἱρμὸς

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες, ἀλλ᾽ ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν· Ἐνδόξως γάρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πάθει σου τιμίῳ, τὴν ἀτιμασθεῖσαν φύσιν ἐτίμησας, τῆς ἀνθρωπότητος· διὸ τιμῶντές σε φόβῳ, μεγαλύνομεν τὸ κράτος σου, καὶ πιστῶς δοξάζομεν· Ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἵματί σου Λόγε, αἱμάτων ἀδίκων χύσιν ἀνέστειλας, καὶ ἀπεκάθηρας, ῥύπου κακίας τὴν φύσιν, τῶν ἀνθρώπων Παντοδύναμε· διό περ δοξάζομεν σῳζόμενοι τὸ κράτος σου.

Μαρτυρικὰ

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Θῆρας αἱμοβόρους, ἐνίκησεν ὄντως ἡ ἀξιέπαινος, Μαρτύρων ἔνστασις, πυρὸς ὑπέταξε

φύσιν, δροσισμῷ ἐνθέου χάριτος, καὶ σφοδρὸν κλυδώνιον, πολυθεΐας ἔπαυσε.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὄμβροις τῶν αἱμάτων, ὀμβρήματα πλάνης ἀποξηράναντες, ὄμβρους ἰάσεων, ἀποχετεύετε κόσμῳ, καὶ φλογμὸν παθῶν διώκετε, ἀληθείας Μάρτυρες, ἐντεῦθεν μακαρίζεσθε.

Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Κάλλος ἐν τῷ πάσχειν ὡραῖον ἐν κάλλει, οὐδ᾽ εἶδος ἔχοντα, ἡ ἀπειρόγαμος, κατανοοῦσά σε Κόρη τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, μητρικῶς ἠλάλαζε, καὶ πόθῳ σε ἐδόξαζε.

Κανὼν τῆς Θεοτόκου,
Ἦχος πλ. β΄. Κύματι θαλάσσης...

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἄχραντε Παρθένε, κεχαριτωμένη Μαρία ἔνδοξε, τῆς χαρᾶς πρόξενε, τοὺς ὑμνητάς σου ἐνθέως, θείαις χάρισι χαρίτωσον, ὅπως χαριστήριον ᾠδήν σοι ἀναπέμψωμεν. (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Βαβαὶ Θεομῆτορ, τῶν σῶν μυστηρίων! τῶν ποιημάτων γάρ, ἐδείχθης Δέσποινα, ὃν οὐ τολμᾷ ἀτενίσαι τῶν Ἀγγέλων τὰ στρατεύματα, ἐν ἀγκάλαις φέρουσα· διό σε μακαρίζομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γένος βροτῶν ἅπαν, φθορᾷ τοῦ θανάτου καταδεδίκασται, τῇ τῆς προμήτορος, ἀπογεύσει τοῦ ξύλου, διὰ σοῦ δὲ ἀνακέκληται, ὡς ζωὴν τεκούσης σου, Ἁγνὴ τὴν ἀδιάφθορον.

Κανόνες τοῦ Ἁγίου
Ὠδὴ α΄
Ἦχος πλ. δ΄
Ἁρματηλάτην Φαραὼ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν σῶν θαυμάτων ἐν ἐμοὶ Γρηγόριε, θείαν ἐνέργειαν, περιφανῶς Πάτερ, καὶ τανῦν ἀνάδειξον, ἐκ τοῦ βυθοῦ ῥυόμενος, τῶν πταισμάτων με μάκαρ, καὶ σῇ φωτίζων λαμπρότητι, ὅπως ἐπαξίως ὑμνήσω σε. (Δὶς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἐντρεχὴς καὶ νουνεχὴς καὶ φρόνιμος, τὸ τῆς ψυχῆς εὐγενές, τῶν τῆς σαρκὸς μάκαρ, ἡδονῶν προέκρινας, τὰ τῆς σοφίας δόγματα, φιλοπόνως συλλέγων, δι΄ ὧν ἐκείνη Γρηγόριε, τρέφεται Θεῷ πλησιάζουσα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν σωφροσύνην ἀδελφὴν κτησάμενον, ὡς συνεργὸν τῶν καλῶν, σὲ καθορῶν ὄφις, ὁ δεινὸς Γρηγόριε, σοὶ τοὺς βασκάνους ἤγειρεν, οὓς κατῄσχυνας Πάτερ, μακροθυμίᾳ τὸ γύναιον, πάθει συσχεθὲν ἰασάμενος.

Δόξα...

Ἐπὶ τῆς ξένης διατρίβων Ὅσιε, πᾶσιν αἰδέσιμος, δι΄ ἀρετὴν ὤφθης, εὐσεβὴς φιλόθεος, θαυματουργίας χάρισμα, πρὸς Θεοῦ δεδεγμένος, δι΄ ἧς γνωρίζῃ ὡς ἥλιος, λάμψας ἐν τῷ κόσμῳ Γρηγόριε.

Καὶ νῦν... Θεοτοκίον

Ῥίζης Ἁγνὴ βασιλικῆς ἐβλάστησας, καὶ Βασιλέα Χριστόν, τὸν τοῦ Θεοῦ Λόγον, ὑπὲρ νοῦν καὶ ἔννοιαν, σεσαρκωμένον τέτοκας, ἐξ ἁγνῶν σου αἱμάτων, διττὸν τήν φύσιν ὑπάρχοντα, καὶ μοναδικὸν τὴν ὑπόστασιν.

Κανὼν Σταυρώσιμος,
ᾨδὴ γ΄ Ἦχος πλ. β΄
Ὁ Εἱρμὸς

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ Κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο. Οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε, κραυγάζουσα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἐν ξύλῳ ὑψωθέντα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, κατανοῶν ὁ ἥλιος συνεσκοτίζετο, πάντων φωτισμὸν γινώσκων σε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τέτρωταί σου τοῖς ἥλοις, μακρόθυμε ὁ Παραδείσῳ πάλαι τρώσας Ἀδὰμ κακοῦργος, καὶ πληγωθεὶς ἀνιάτρευτος, εἰς τὸν αἰῶνα ἔμεινε, πιστοὶ δὲ εὕρομεν, πάντων τῶν τραυμάτων ἴασιν.

Μαρτυρικὰ

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Ὅτε χορὸς Ἀγγέλων, ἑώρακε Μαρτύρων τὰς ἀγέλας, ὑπὲρ Ἀμνοῦ τυθέντος, συγκοπτομένας ἐθαύμαζε, πῶς δυσμενεῖς οἱ

ἔνυλοι, ἀΰλους ἔτρεπον νίκης στέφος κομιζόμενοι.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπέρ ἡμῶν.

Σθένος ἐνδεδυμένοι, οἱ Ἅγιοι τοῦ ἐν ἰσχύϊ μόνου, τὰ πάντα δυναμοῦντος, τῷ δυσμενεῖ συνεπλέκοντο, καὶ τὴν αὐτοῦ ἀνίσχυρον ἐπάτουν δύναμιν, στέφος ἐκ Θεοῦ δεχόμενοι.

### Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ τὸν ἐκ σοῦ τεχθέντα ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν, Ὑπεραγία Πανάμωμε, καὶ θαμβουμένη ἔλεγες· Τί σοι ἀπέδωκε, Τέκνον δῆμος ὁ παράνομος;

Κανὼν τῆς Θεοτόκου
ᾨδὴ γ΄. Ἦχος πλ. β΄.
Σὲ τὸν ἐπὶ ὑδάτων,

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δόλῳ με δελεάσας, θεώσεως ἐχθρὸς τῷ πόθῳ πάλαι, ἐξ Ἐδὲμ Θεομῆτορ, εἰς γῆν ἑρπύσας συνέτριψεν, ἀλλ᾽ ὁ Χριστὸς οἰκτείρας με, ἐκ τῆς νηδύος σου, σάρκα προσλαβὼν ἀνέπλασεν.(Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐλύθη τῆς κατάρας, τῆς ἔκπαλαι ἡ δίκη Θεομῆτορ, ἐν τῇ σῇ μεσιτείᾳ· ἐπιφανεὶς γάρ σοι Κύριος, πᾶσιν ἀφθόνως ἔβλυσεν, ὡς ὑπεράγαθος, πᾶσαν εὐλογίαν Πάναγνε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ζωῆς ὡράθης πύλη, Προφήτῃ πρὶν Ἰεζεκιὴλ Κόρη, ἣν ὁ Κύριος μόνος, σεσαρκωμένος διώδευσε, καὶ κεκλεισμένην πάλιν σε, Ἁγνὴ τετήρηκεν, ὡς αὐτὸς οἶδεν ὁ Ὕψιστος.

Κανὼν τοῦ Ἁγίου

ᾨδὴ γ΄. Ἦχος πλ. δ΄

Ὁ στερεώσας κατ᾿ ἀρχάς,

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνακαθάρας σου τὸν νοῦν, τῆς τῶν παθῶν τρικυμίας, καὶ πανσόφου θεωρίας ἐμπλήσας, ἀνεδείχθης εὐπρεπές, σοφίας ἐνδιαίτημα, καὶ προφητείας χάριν, κατεπλουτίσθης Γρηγόριε. (Δὶς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ θεοπνεύστῳ συγγραφῇ, προσομιλήσας παμμάκαρ, καὶ ποικίλης πολιτείας ἰδέαν, ἐκλεξάμενος σοφῶς. Ἓν ἀρετῆς εἰκόνισμα, ἐν σεαυτῷ θεόφρον, ἀπηκριβώσω Γρηγόριε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ θεοφάντωρ μυηθείς, τῇ θείᾳ μυσταγωγίᾳ, τὸ μυστήριον τῆς θεολογίας, κατεφώτισεν ἡμᾶς, Τριάδα ὁμοούσιον, ὁμοφυῆ τε σέβειν, ἄκτιστον καὶ συναΐδιον.

Δόξα...

Ὑπὸ Θεοῦ ὁδηγηθείς, ὡς πόθῳ τοῦτον ζητήσας, τὴν ἁγνὴν καὶ Θεοτόκον Μαρίαν, καὶ τὸν γόνον τῆς Βροντῆς, μυσταγωγοῦς ἐκέκτησο, τὸ τῆς Τριάδος φέγγος, σὲ θεορρῆμον διδάσκοντας.

Καὶ νῦν... Θεοτοκίον

Ῥάβδον βλαστήσασαν Χριστόν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν Ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα θεομακάριστε.

## Ὠδὴ γ΄.

### Ὁ Εἱρμὸς. Ἦχος πλ. δ΄

Ὁ στερεώσας κατ᾿ ἀρχάς, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστέ, τῶν ἐντολῶν σου στήριξον, ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε».



## Κάθισμα
### Ἦχος γ΄
### Θείας πίστεως

**Ν**έος γέγονας Μωσῆς τοῖς ἔργοις, πλάκας πίστεως ἐπὶ τοῦ ὄρους, τῆς μυστικῆς θεοφανείας δεξάμενος, νομοθετήσας λαοῖς τὴν εὐσέβειαν, τοῦ τῆς Τριάδος μυστηρίου Γρηγόριε· ὅθεν ἅπαντες, τιμῶμεν πιστοὶ τὴν μνήμην σου, αἰτοῦντες διὰ σοῦ τὸ μέγα ἔλεος.

**Δ**όξα... **Κ**αὶ νῦν... Θεοτοκίον

**Θ**εία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα, τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

## Ὠδὴ στ΄, τοῦ Μηναίου
### Ἦχος πλ. δ΄. Ὁ Εἱρμὸς

**Ἱ**λάσθητί μοι Σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Ἦχος πλ. δ΄ Γα

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄



Κοντάκιον
Ἦχος β΄
Τὰ ἄνω ζητῶν

Θαυμάτων πολλῶν, δεξάμενος ἐνέργειαν, σημείοις φρικτοῖς, τοὺς δαίμονας ἐπτόησας, καὶ τὰς νόσους ἤλασας τῶν ἀνθρώπων, πάνσοφε Γρηγόριε· διὸ καλὴ θαυματουργός, τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος.

Ὁ Οἶκος

Πόθεν ἀπάρξομαι τοὺς ἐπαίνους ἐξυφαίνειν ὁ τάλας, καθορῶν τὰ πολλὰ καὶ ὑπερθαύμαστα πράγματα; Ἐὰν ἀπὸ τοῦ βίου τοῦ Ὁσίου ἐγχειρήσω, τὸ σύνολον οὐκ ἰσχύω· πάντα γὰρ νοῦν ὑπερβαίνει ὁ ἔνθεος βίος αὐτοῦ. Ἐὰν ἀπὸ τῶν θαυμάτων, καὶ ἐν τούτῳ λοιπὸν αἰσχυνθήσομαι, ὑπὲρ τὴν ψάμμον γὰρ ὑπάρχουσι· διὰ τοῦτο ἀκούει θαυματουργός, τὴν κλῆσιν ἐξ ἔργων κομισάμενος.

Συναξάριον

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ.

Στίχοι

Ὁ Γρηγόριος, θαυματουργῶν καὶ πάλαι,
Θεῷ παραστάς, θαυματουργεῖ τι πλέον.
Ἑβδομάτῃ δεκάτῃ τε μέγας θάνε θαυματουργος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ Λαζάρου τοῦ Ζωγράφου.

Στίχοι

Οὐ ζωγραφεῖ σε Λάζαρος καὶ νῦν Λόγε,
Ἀλλὰ βλέπει σε ζῶντα, μὴ ληπτὸν χρόαις.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ὁσίων Ζαχαρίου τοῦ Σκυτοτόμου, καὶ Ἰωάννου, καὶ διήγησις ὠφέλιμος.

Ὁ Ὅσιος Γεννάδιος, ὁ ἐν τῇ μονῇ τοῦ Βατοπεδίου ἀσκήσας, καὶ δοχειάρης (τροφοδότης) αὐτῆς ὤν, καὶ τὸ θαῦμα τοῦ ἔλαιον ἀναβλύσαντος ἐκ κενοῦ πίθου ἰδών, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Λογγῖνος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ἔχεις ἀθλητὴν Χριστὲ Λογγῖνον μέγαν.
Ἔχεις δὲ καὶ Λογγῖνον ἀσκητὴν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Γεννάδιος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

### Στίχοι

Ὁ Γεννάδιος εὗρε τὴν Ἐδὲμ στέφος,
Φανεὶς νοητὴν πρὸς παλαίστραν γεννάδας.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάξιμος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

### Στίχοι

Μάξιμος ὠδίνησε, καὶ τεκὼν τέκνα,
Πράξεις ἁγνάς, ἄπεισιν ἁγνὸς ἐκ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Ἰουστῖνος ἐν εἰρήνῃ τελειοῦται.

### Στίχοι

Ἀσκητικὸς ἄγρυπνος ὀφθαλμὸς μύει,
Ἰουστῖνος, τὸ θαῦμα τῶν ἠσκηκότων.

Ταῖς τῶν Ἁγίων σου πρεσβείας, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

### Ὠδὴ η΄, τοῦ μηναίου
### Ἦχος δ΄
### Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ Δημιουργῷ, καὶ Λυτρωτῇ ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἦχος πα Νη Γα




Βο α οι Παι δες ευ λο γει τε Ι ε ρεις
α νυ μνει τε λα ος υ πε ρυ ψου ου τε εις
παν τας τους αι ω ω να α α ας

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Τιμιωτέρα πλαγίου δ΄

Ἦχος πα Νη




την τα πει νω σιν της δου λης αυ του ι
δου γαρ α πο του νυν μα κα ρι ου σι με
πα α α σαι αι γε νε αι
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι ι τω ως
των Σε ρα φειμ την α δι α φθο ρως Θε
ον Λο ο γον τε κου σαν την ον τως Θε ο
το ο κον σε με γα λυ υ νο ο μεν
Στίχος γ΄
Ο τι ε ποι η σε μοι με
γα λει α ο δυ να τος και α γι ον
το ο νο μα αυ του και το ε λε ος


αυ του εις γε νε αν και γε νε αν τοις φο βου
με ε νοις αυ τον
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι ι τω ως
των Σε ρα φειμ την α δι α φθο ρως Θε
ον Λο ο γον τε κου σαν την ον τως Θε ο
το ο κον σε με γα λυ υ νο ο μεν
Στίχος
Ε ποι η σε κρα τος εν βρα
χι ο νι αυ του δι ε σκορ πι σεν υ
πε ρη φα νους δι α νοι α καρ δι ι ας αυ
των


Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι ι τω ως
των Σε ρα φειμ την α δι α φθο ρως Θε
ον Λο ο γον τε κου σαν την ον τως Θε ο
το ο κον σε με γα λυ υ νο ο μεν
Στίχος ε'
Κα θει λε δυ να στας α πο
θρο νων και υ υ ψω σε τα πει νους πει νων
τας ε νε ε πλη σεν α γα θων και πλου
του ουν τας ε ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι ι τω ως


των Σε ρα φειμ την α δι α φθο ρως Θε
ον Λο ο γον τε κου σαν την ον τως Θε ο
το ο κον σε με γα λυ υ νο ο μεν
Στίχος ς΄
Ἀν τε λα βε το Ισ ρα ηλ
παι δος αυ του μνη σθη ναι ε λε ε ε ους
κα θως ε λα λη σε προς τους πα τε ε
ρας η μων τω Α βρα αμ και τω σπερ μα τι
αυ του ε ως αι ω νος
Την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι ι ι τω ως
των Σε ρα φειμ την α δι α φθο ρως Θε

ον Λο ο γον τε κου σαν την ον τως Θε ο

το ο κον σε με γα λυ υ νο ο μεν

Εἶτα ψάλλεται
ἡ θ΄ ᾠδὴ τοῦ κανόνος

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διὸ σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν

Ἦχος πλ. β΄ Γα

Ε ξε στη ε πι του τω ο ου ρα νος

και της γης κα τε πλα γη τα πε ρα τα ο τι

Θε ος ω φθη τοις αν θρω ποις σω μα τι κως

και η γα στηρ σου γε γο νεν ευ ρυ χω


ρο τε ε ρα των ου ρα νων δι ο σε
Θε ο το κε Αγ γε ε λων και αν θρω πων
τα ξι αρ χι αι με γα λυ νου σιν
Ἦχος
Ἄ ξι ον ε στιν ως α λη θως μα
κα ρι ζειν σε την Θε ο το κον την α ει μα
κα ρι στον και πα να μω μη τον και μη τε
ρα του Θε ου η μων την τι μι ω τε ραν
των Χε ρου βιμ και εν δο ξο τε ραν α
συγ κρι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε


ο το κον σε με γα λυ νο με ε ε εν

## Ἐξαποστειλάριον

### Τῶν Μαθητῶν ὁρώντων σε

Τὸν ἐν ποικίλοις θαύμασιν, Ἱεράρχην, ἀναφανέντα δόκιμον ἐν τῷ κόσμῳ, θείαις εὐφημήσωμεν μελῳδίαις, Γρηγόριον φιλέορτοι, ὅπως ταῖς τούτου πρεσβείαις, λάβωμεν λύσιν πταισμάτων.

### Θεοτοκίον

Ὁ τῆς ζωῆς τῆς θείας καὶ μακαρίας, φθονήσας μοι τῆς πάλαι ἐν Παραδείσῳ, ἐχθρὸς ὁ δολιώτατος καὶ πανοῦργος, καὶ τῆς Ἐδὲμ ἐξόριστον, ποιήσας με θανατοῦται, τῇ σῇ γεννήσει Παρθένε.

Εἰς τοὺς αἴνους.

Ἦχος Πα



πει υ υ μνος τω ω Θε ε ω

Εἰς τοὺς Αἴνους,
ἱστῶμεν Στίχους δ΄
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄
Χαίροις ἀσκητικῶν

Στίχ. Αἰ νει τε αυ τον ε πι ταις δυ να στει αις αυ του αι νει τε αυ τον κα τα το πλη θος της με γα λω συ νης αυ του

Χαίροις θεολογίαις σαφῶς, ἱερωτάταις ἱερῶς σεμνυνόμενος, ὁ στῦλος τῆς Ἐκκλησίας, ἡ τῶν δογμάτων κρηπίς, τὸ τοῦ Παρακλήτου θεῖον ὄργανον, ὁ νοῦς ὁ οὐράνιος, ἡ κιθάρα τοῦ Πνεύματος, ποιμὴν ὁ μέγας, καὶ Χριστοῦ Ἀρχιποίμενος, θρέμμα γνήσιον, καὶ ἀρνίον πραότατον· κρήνη ἀναβλυστάνουσα, δογμάτων τὰ νάματα, καὶ ἰαμάτων τὰ ῥεῖθρα, ἱερομύστα

Γρηγόριε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Αἰ νει τε αυ τον εν η χω σαλ πιγ γος αι νει τε αυ τον εν ψαλ τη ρι ω και κι θα ρα

Χαίροις θεολογίαις σαφῶς, ἱερωτάταις ἱερῶς σεμνυνόμενος, ὁ στῦλος τῆς Ἐκκλησίας, ἡ τῶν δογμάτων κρηπίς, τὸ τοῦ Παρακλήτου θεῖον ὄργανον, ὁ νοῦς ὁ οὐράνιος, ἡ κιθάρα τοῦ Πνεύματος, ποιμὴν ὁ μέγας, καὶ Χριστοῦ Ἀρχιποίμενος, θρέμμα γνήσιον, καὶ ἀρνίον πραότατον· κρήνη ἀναβλυστάνουσα, δογμάτων τὰ νάματα, καὶ ἰαμάτων τὰ ῥεῖθρα, ἱερομύστα Γρηγόριε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Αἰ νει τε αυ τον εν τυ μπα νω και χο ρω αι νει τε αυ τον εν χορ

δαι αις και ορ γα νω

Χαίροις, Ἱεραρχῶν καλλονή, τῶν ἀρετῶν τὸ διαυγὲς καταγώγιον, ἡ στάθμη τῆς Ἐκκλησίας, ἱερωσύνης κανών· ποταμὸς ναμάτων θείων ἔμπλεως, ἐξ ὧν καταρδεύεται, ἡ ὑφήλιος ἅπασα, πρὸς εὐκαρπίαν, ψυχικὴν καὶ σωτήριον, καὶ αἱρέσεων, ἀποπλύνεται βόρβορος. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, στόμα τὸν νόμον τὸν θεῖον, ἐμμελετῆσαν Γρηγόριε, Θεοῦ κληρονόμε, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Στίχ. Αἰ νει τε αυ τον εν κυμ βα λοις

ευ η χοις αι νει τε αυ τον εν κυμ βα

λοις α λα λαγ μου πα σα πνο η αι νε

σα α τω τον Κυ ρι ον

Ὄμβροις σῶν ἱερῶν προσευχῶν, λίμνην ἐξήρανας ποτὲ μάχης πρόξενον· καὶ ῥεῖθρον τῇ δενδρωθείσῃ, ῥάβδῳ ἀτάκτως σοφέ, ἐπικλύζον

εἴργεις θείᾳ χάριτι· βωμούς κατηδάφισας, τῶν δαιμόνων Γρηγόριε, τῆς ἀπιστίας, τὸν χειμῶνα διέλυσας, θερμοτάταις σου, πρὸς Θεὸν παρακλήσεσι, θαύμασιν ἐβεβαίωσας, ψυχὰς καὶ προσήγαγες, τῷ εὐεργέτῃ τῶν ὅλων, παρ᾽ οὗ τὸν ἄξιον εἴληφας, μισθόν, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.






Σταυροθεοτοκίον

Ἦχος πλ. δ'


Και νυ υν και α ει και εις τους αι ω
νας των αι ω ω νων α μην
Τον Εμ μα νου ηλ α μνον Θε ου και
Λο γον βλε που σα Σαρ κι κρε μα με νον εν
ξυ λω Α μνας η μο νη α μι ι αν τος
και Παρ θε νος λυ πη συ νει χε το δα κρυ ου σα α
α α

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

*Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων.*

*Σταυρώσιμα*

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Ἀπόστιχα τῶν Αἴνων . Σταυρώσιμα

Ἦχος πλ. β΄ Δι

Ἐν τῷ Σταυρῷ τὴν ἐλπίδα κέκτημαι, καὶ ἐν αὐτῷ καυχώμενος βοῶ· Φιλάνθρωπε Κύριε, τὴν ἀλαζονείαν κατάβαλε, τῶν μὴ ὁμολογούντων σε, Θεὸν καὶ ἄνθρωπον.




Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ΄ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

**Ο**ἱ τῷ Σταυρῷ τειχιζόμενοι, τῷ ἐχθρῷ ἀντιτασσόμεθα, μὴ δειλιῶντες τὰς αὐτοῦ μεθοδείας καὶ ἐνέδρας· ὁ γὰρ ὑπερήφανος κατήργηται, καὶ καταπεπάτηται, τῇ δυνάμει τοῦ ἐν ξύλῳ, προσπαγέντος Χριστοῦ.




Στίχ. β΄. **Κ**αὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ᾽ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Μαρτυρικὸν
Ἦχος πλ. β΄

Κύριε, ἐν τῇ μνήμῃ τῶν Ἁγίων σου, πᾶσα ἡ κτίσις ἑορτάζει, οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις. Αὐτῶν ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς.



## Δοξαστικὸν τῶν Ἀποστίχων τοῦ μηναίου

### Ἦχος δ΄

Ἦχος Πα



φι ας χα ρι ι τος εκ χυ θει σης εν χει λε ε

σι ι ι ι ι σου πα ρα δο ξων πραγ μα

τω ων αυ του ουρ γε Κυ υ ρι ι ου ου ου

Γρη γο ο ο ο ρι ι ι ι ε δι ο και

νυν εν τη μνη μη η σου αι τη σαι Χρι στο ο ο

ο ον τον Θε ε ον υ πε ε ε ερ των ψυ υ χων

η η μω ων

## Σταυροθεοτοκίον

Ἦχος δ'

Ἔδωκας σημείωσιν

Και νυν και α ει ει και εις τους αι ω

νας των αι ω νων α μην

**Σ**ταυρούμενον βλέπουσα, ἡ παναμώμητος Δέσποινα, τὸν Δεσπότην τῆς κτίσεως, θρηνοῦσα ἐκραύγαζεν· Οἴμοι θεῖον Τέκνον! πῶς φέρεις ὀδύνας, Θεὸς ὑπάρχων ἀπαθής; Ἀγγέλων τάξεις τρόμῳ ἐξέστησαν, ὁρῶσαι τὸ μυστήριον, τῆς σῆς ἀφάτου σταυρώσεως, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Ἀπολυτίκιον τῆς ιζ΄ Νοεμβρίου

Ἦχος πλ Γα



## Δόξα... Καὶ νῦν ...

Θεοτοκίον εἰς τὸ τέλος τοῦ Ὄρθρου.

Ἦχος πλ. δ΄.



# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

Εἰς τὴν Θείαν Λειτουργία

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. β΄ Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Ἀντίφωνο Α΄

Ἦχος Δι

Ἀ μη ην

Στίχ. α΄ Ἀ γα θον το ε ξο μο λο
γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο
νο μα τι σου Υ ψι στε

Ταις πρε σβει αις της Θε ο το κου Σω
τερ σω σον η μας

Στίχ. β΄ Του α ναγ γε λειν τω πρω ι
το ε λε ος σου και την α λη θει αν
σου κα τα νυ κτα

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στίχ. γ΄ Ο τι ευ φρα νας με Κυ ρι

ε εν τοις ποι η μα σι σου και εν

τοις ερ γοις των χει ρων σου α γαλ λι α

σο μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στίχ. δ΄ Ο τι ευ θυς Κυ ρι ος ο

Θε ος η μων και ουκ ε στιν α δι κι

α εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον. Ταις πρε σβει αις της Θε ο

το ο κου Σω τερ σω σον η μα α ας

Ἀντίφωνο Β΄

Ἦχος Δι

Α μη ην

Στίχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ

σεν ευ πρε πει αν ε νε δυ σα το ε

νε δυ σα το Κυ ρι ος δυ να μιν και

πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η


μας Κυ ρι ε
Στίχ. β΄
Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη
σε ται
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Στίχ. γ΄
Θαυ μα στοι οι με τε ω
ρι σμοι της θα λασ σης θαυ μα στος εν υ
ψη λοις ο Κυ ρι ος
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Στίχ. δ' Τα μαρ τυ ρι α σου ε πι
στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων

Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε

Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι

Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην

Ο μο νο γε νης Υι ος και Λο γος


του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο
Θε ος θα να α τω ω θα να τον πα τη σας
ει εις ων της Α γι ας Τρι α δος συν δο
ξα ζο ο με νος τω Πα τρι και τω Α γι ω
Πνευ μα τι σω σον η μα α ας

Ἀντίφωνο Γ´

## Ἀντίφωνο Γ΄

Ἦχος Δι



εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α

Στιχ. δ΄ Ο τι Θε ος με γας Κυ ρι ος
και βα σι λευς με γας ε πι πα σαν την
γην

Σω σον η μα ας Υι ε Θε ου ο εν
Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη
λου ι α α α α

## Εἰσοδικό

Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου




## Ἀπολυτίκιον τῆς ιζ' Νοεμβρίου

Ἦχος πλ. β' Γα




## Ἀπολυτίκιον τοῦ Ναοῦ.

## Κοντάκιον

### Ἦχος Δι



# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΠΑΡΑΣΚΕΥΗ ΚΔ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρύς

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 5:9-13;5:24-28

Ἀδελφοί, οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ᾽ εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν. Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. εἰρηνεύετε ἐν ἑαυτοῖς. Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει τὴν ἐλπίδα ἡμῶν βεβαίαν. Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. Ὁρκίζω ὑμᾶς τὸν Κύριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν

πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ᾽ ὑμῶν· ἀμήν.

Ἀλληλούϊα Ἦχος α΄

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Κοινωνικόν

## Τῇ Παρασκευῇ ( Σταυρώσιμον)

Ἦχος Δι ΑΓΙΑ



## Κοινωνικόν τῆς Παρασκευῆς.
## Ψαλμός 73ος

Ἦχος πλ. α΄ Πα




α μει ει σου την θα α α λα α α ασ σαν
συ συ νε ε τρι ι ι ψας τας κε ψα λας των
δρα κο ον των ε πι ι του υ υ δα α το ο
ος Α αλ λη λου ου ου ου ι α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα μου
ου ους Η η η η θα α αμ Α α αλ λη
λου ου ι ι α
Ση ε στι ιν η η η με ε ε ρα και ση η
ε ε ε στι ιν η η η νυξ Συ κα τηρ
τι σω φα α αυ σιν και Η η η λι ι ι ι ο


ο ον Α α αλ λη λου ου ι ι α
Συ ε ποι η σας παν τα τα ω ραι αι αι
α α τη ης γης θε ρος και ε ε ε αρ Συ ε
ποι οι η σα ας α αυ τα α α Α α αλ
λη λου ου ι ι α
Α να στα ο ο Θε ε ε ος ε πι
βλε ψον ε πι τη δι α θη κη ην σου μη ε πι
λα θη της φω νη ης των οι οι κε τω ω ω ων
σου ου ου Α α α λη ου ου ι ι α

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Κοινωνικόν τῆς Παρασκευῆς. Ψαλμός 73ος
## Ἡμετέρας καταγραφῆς.

Ἦχος πλ. Πα




α α α
Συ ε κρα ται ω σας εν τη δυ
να α μει ει σου την θα α α λα α α ασ
σαν συ συ νε ε τρι ι ι ψας τας κε ψα
λας των δρα κο ον των ε πι ι του υ υ δα α
το ο ος Α α αλ λη η η λου ου
ι ι ι α α α α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα
μου ου ους Η η η η θα α αμ Α α αλ
λη η η λου ου ι ι ι α α α α


Ση ε στι ιν η η η με ε ε ρα και
ση η ε ε ε στι ιν η η η νυξ Συ
κα τηρ τι σω φα α αυ σιν και Η η η λι ι
ι ι ο ο ον Α α αλ λη η η λου
ου ι ι ι α α α α
Συ ε ποι η σας παν τα τα ω ραι
αι αι α α της γης θε ρος και ε ε ε αρ
Συ ε ποι οι η σα ας α αυ τα α α
Α α αλ λη η η λου ου ι ι ι α
α α α
Α να στα ο ο Θε ε ε ος ε


πι βλε ψον ε πι τη δι α θη κη ην σου
μη ε πι λα θη της φω νη η ης των οι οι
κε τω ω ω ων σου ου ου Α α αλ λη
η η λου ου ι ι ι α α α α

# 17-11-2017 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ ΠΛ. Β΄

## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




## Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος Δι



αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη

σω μεν την δο ο ξαν σου ο τι η ξι ω

σας η μας των α γι ων σου με τα σχειν

μυ στη ρι ι ι ι ων τη ρη σον η μας

εν τω σω α γι α σμω ο λην την η

με ραν με λε ταν την δι και ο συ νην σου

Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη

λου ου ι α α α

## Εἴη τό ὄνομα...

Ἦχος Δι




## Τόν Εὐλογοῦντα...



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.